Amph.
Theol. Apol.
S

THEODORUS LASCARIS JUNIOR.

DE

PROCESSIONE SPIRITUS SANCTI

ORATIO APOLOGETICA.

AD FIDEM CODICUM EDIDIT

H. B. SWETE,
S.T.B., COLL. GONV.-CAI. SOC.

ἵνα ὦσιν ἕν.
S. JOANN. 17, 22



LONDINI: APUD WILLIAMS ET NORGATE.
JENÆ: TYPIS FR. FROMMANNI.
MDCCCLXXV.

THEODORUS LASCARIS JUNIOR.

DE

PROCESSIONE SPIRITUS SANCTI

ORATIO APOLOGETICA.

AD FIDEM CODICUM

EDIDIT

H. B. SWETE,
S.T.B., COLL. GONV.-CAI. SOC.

ἵνα ὦσιν ἕν.
S. JOANN. 17, 22.



LONDINI ITEM EDINÆ
APUD WILLIAMS ET NORGATE.
JENÆ: TYPIS FR. FROMMANNI.
MDCCCLXXV.

LECTORI.

De vita et scriptis Theodori nostri confer si lubet Acropol. *Annal.* 53 sq. Ephræm. Chronogr. *Cæs.* 8906 sq. Niceph. Gregor. *Hist. Byzant.* III. Pachym. *de Mich. Palæol.* I. 8: necnon quæ contexuerunt recentiores, e. gr. Caveus, *Hist. lit.* (anno 1255). Cangius, *Famil. Byzant.* p. 218 sq. J. A. Fabricius, *Biblioth. Græc.* (ed. Harles.) tom. XI p. 662 sq. Oudinus, *Comment. de Script. Eccl.* tom. III p. 234 sq. Leo Allatius, *de consens. eccl.* XIV § 14. *de Theodoris diatrib.* (ap. Mai. Patr. nov. biblioth. tom. VI p. 190 sq.). Walchius, *Hist. controv. de process. Sp. S.* p. 85 sq.

CODD. MSS.

B = Biblioth. Bodleian. Codd. Græc. Misc. 120 § 22. Fol. 265—275. "Codex chartaceus in 4^to^ minimo. Ff. 405 secc. XIV et XV." (Vide *Catal. Codd. MSS. Bibl. Bodl.* p. 691.)

G = Biblioth. Coll. Gonvillo-Caiani ap. Cantabr. Cod. 355 § 10. Fol. 217—226. Codex chartaceus sec. XV (?). Fuit ex libris Jo. Caii. Fragmentum tractatus Theodorei latet inter varia *περὶ τριάδος* hinc illinc conflata. (Vide J. J. Smith: *Catalogue of MSS. in the library of Gonville and Caius College* p. 169. Cf. Cavei *h. l.* a. 1255.)

H = Biblioth. Harleian. in Museo Britannico Cod. 5624 § 26. Fol. 383—394 sec. XIV (?) "Codex chartaceus variis constans operibus Græcis diversis temporibus scriptis." (Vide *Catal. Bibl. Harleianæ* tom. III p. 282.)

L = Biblioth. Coll. Lincolniensis ap. Oxon. MS. Græc. VII. 16 §. 4. Fol. 101—114. "Codex chartaceus in 4^to^. Ff. 198 sec. XVI." (Vide *Catal. Codd. MSS. Coll. et Aul. Oxon.*)

ΘΕΟΔΩΡΟΥ ΒΑΣΙΛΕΩΣ ΤΟΥ ΛΑΣΚΑΡΙ

ΛΟΓΟΣ ΑΠΟΛΟΓΗΤΙΚΟΣ ΠΡΟΣ ΕΠΙΣΚΟΠΟΝ ΚΟΤΡΩΝΗΣ

ΚΑΤΑ ΛΑΤΙΝΩΝ

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

---

*Ἐπειδὴ ἐρώτησιν ὑπέθετο ἡ βασιλεία μου πρὸς σὲ, ὦ ἱερώτατε ἐπίσκοπε Κοτρώνης, ἀπολογήσασθαι τῇ βασιλείᾳ μου ὅπως ἡ ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη ἐκκλησία ἡ πρεσβυτέρα Ῥώμη δογματίζει περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, καὶ ἀπολογίαν ἔθου πρὸς τὴν βασιλείαν μου ὅπως ἡ ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη ἐκκλησία οὕτως *σεβάζεται περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, οὐ μόνον ἐκ τοῦ Πατρὸς ἔχειν τὴν ἐκπόρευσιν, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ· ἀπολογεῖταί σοι ἡ βασιλεία μου ὅτι ἡ καθ᾽ ἡμᾶς ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη ἐκκλησία, καθὼς μέλλεις γνωρίσαι ἐκ τῶν κατωτέρω ῥηθησομένων ἐγγράφων μαρτυριῶν*

Θεοδώρου μοναχοῦ βασιλέως τοῦ Λασκάρη λόγος ἀπολογητικὸς πρὸς ἐπίσκοπον Κοτρώνης κατὰ Λατίνων, B. *Θ. μ. β. τοῦ Λάσκαρι λόγος ἀπολιτικὸς πρὸς ἐπίσκοπον Κοτρώνης κατὰ τῶν Ἰταλῶν ἤγουν Λατίνων*, G. *τοῦ ἀοιδίμου βασ. μον. Θ. τοῦ Λάσκαρι λόγος ἀπολογητικὸς πρὸς Λατῖνον ἐπίσκοπον Κοτρώνης περὶ τοῦ Ἁγίου Πνεύματος*, H. *Θεοδόρου Βασιλέως τοῦ Λάσκαρι λόγος ἀπολογητικὸς πρὸς Κοτρώνην κατὰ Λατίνων*, L.

τ

1. *ὑπελάβετο* G. 2. *Κοπρώνης* G [*Κωρώνης* (*bis*) Caveus, auctore D. Whartono.] . . . *ἀπολογίσασθαι* G. 3. *ἁγιοτάτη* G (*bis*). 5. [*παρὰ τὴν βασιλείαν μου* legit Cave]. 6. *σεβάζεται* H. *σευάζεται* BL [cf. infr. l. 557]. *σεύεται* G ["forte *συνίεται*" Cav.]. 8. *ἔχειν* HL. *ἔχει* G. *λέγει* B. 9. *ἀπολογεῖται σε* B. 11. *κατωτέρω* BH. *κατωτέρων* GL.

καὶ ῥήσεων εὐαγγελικῶν, τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς καὶ μόνου ἐκπορεύεσθαι δογματίζει· ἐκ τοῦ Υἱοῦ δὲ οὐκ ἐκπορεύεσθαί μέν φαμεν, διὰ τοῦ Υἱοῦ δὲ χορηγεῖσθαι ἡμῖν πρὸς κάθαρσιν καὶ ἁγιασμὸν καὶ πιστεύομεν καὶ δοξάζομεν. ἃς δὴ χρήσεις ἀναλεξαμένη ἡ βασιλεία μου συντόμως τῇ σῇ παρατίθησιν ἱερότητι.

Ἄρχεται δὲ ἐκ τῆς αὐτοαληθείας αὐτῆς· καλὸν γὰρ ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Τοῦτο δεῖγμα σαφὲς καὶ ἀπόδειξις ἀναντίρρητος ἐναργῶς συνιστῶσα τοὺς λέγοντας μὴ ἐκπορεύεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ. Πάλιν δέ φασιν οὗτοι ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον τῆς ἀληθείας καὶ Πνεῦμα Χριστοῦ, καθὼς ὁ Παῦλός φησι, διὰ ταῦτα γοῦν ἐκπορεύεται καὶ ἐξ αὐτοῦ. Ἡμεῖς δὲ πρῶτον μὲν τοῦτό φαμεν πρὸς αὐτοὺς ὅτι ἄλλο ἐστὶ τὸ εἶναι ἔκ τινος καὶ ἄλλο τὸ εἶναί τινος· οἷον· τὸ Πνεῦμα εἶναι μὲν τοῦ Υἱοῦ πνεῦμα, ἀναμφίβολον καὶ παρὰ τῆς γραφῆς πάσης βεβαιούμενον· εἶναι δέ τοι ἐκ τοῦ Υἱοῦ οὐδεμία γραφὴ μαρτυρεῖ, ἵνα μὴ δύο τοὺς αἰτίους τοῦ Πνεύματος παρεισάξωμεν, τὸν Πατέρα καὶ τὸν Υἱόν.

19. S. Joann. 15, 26.   26. Rom. 8, 9.

12—15 ἐκ τοῦ Πατρὸς καὶ μόνου ἐκπορεύεσθαι δογματίζειν, ἐκ τοῦ Υἱοῦ δὲ οὐκ ἐκπορεύεσθαι μὲν φαμὲν διὰ τοῦ Υἱοῦ δὲ χωρηγεῖσθαι [χωρ. G. passim] ἡμῖν G. ἐκ τοῦ Πατρὸς καὶ μόνου ἐκπορ. δογμ., ἐκ τοῦ Υἱοῦ δὲ οὐκ ἐκπορ. δὲ φαμὲν, κ.τ.λ. L [B ἐκπορ. φαμὲν om. μὲν].—ἐκ τοῦ Πατρὸς καὶ μόνου ἐκπορεύεσθαι μὲν φαμὲν, διὰ τοῦ Υἱοῦ δὲ χορηγεῖσθαι ἡμῖν H. 15. πιστευομένοις δοξάζομεν B. . . ἃς δεῖ G [δὲ legit Caveus]. 17. ἱερότητι BH. ἱερώτητι GL. 18. ἀληθείας H. 18. ἐκ Θεοῦ ἄρχεσθαι B. 22. μαρτυρίσει G. 23. ἀναντήρρητος BH. ἀναντήρητος L. ἐναντήρυντος G. 24. μὴ om. GH. . . . καὶ ἐκ τοῦ Υἱ. BGL. ἐκ μόνου τοῦ Πατρὸς H. . . πάλιν δέ φασιν—καὶ ἐξ αὐτοῦ om. H. 25. τὸ Ἅγιον om. B. . . καὶ τὸ Πνεῦμα Χ. B. 26. καθὼς ὁ Παῦλος BL. καθὼς Π. GH. 28. ἡμεῖς δὲ πρῶτον μὲν τοῦτο φαμὲν πρὸς αὐτοὺς HL. πρὸς αὐτοὺς om. B. μὲν τοῦτο om. G. 31. πάσης BGH. πάνυ L. 31. εἶναι δέ τοι BL. εἶναι δέ τι G. εἶναι δὲ μὴ ἐκ τοῦ Υἱοῦ· οὐδεμία γὰρ τοῦτο γραφὴ μαρτυρεῖ H. 33. παρηκάζομεν G. ὃν Πατέρα L.

Ἀλλ᾽ ἴσως ἐρεῖ τις ὅτι ἐνεφύσησε καὶ εἶπε τοῖς μαθηταῖς, Λάβετε Πνεῦμα Ἅγιον. Ἀλλ᾽ οὐκ ἔστι τοῦτο· εἰ γὰρ τότε ἔδωκε τοῖς μαθηταῖς τὸ Πνεῦμα ὅτε ἐνεφύσησε, πῶς λοιπὸν ἔλεγεν αὐτοῖς ὅτι Λήψεσθε δύναμιν ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ᾽ ὑμᾶς οὐ μετὰ πολλὰς ταύτας ἡμέρας; πῶς δὲ ἐν τῇ πεντηκοστῇ πιστεύομεν γενέσθαι τὴν κάθοδον τοῦ Πνεύματος, εἴ γε ἐν τῇ ὀψίᾳ τῆς ἀναστασίμου ἡμέρας ἔδωκεν αὐτό; τότε γὰρ δήπου ἐνεφύσησεν. Ἀλλὰ ταῦτα μὲν ἄλλης ἐννοίας ἐστὶν ἐχόμενα· φανερὸν γάρ ἐστιν ὡς τῷ τότε αὐτοῖς οὐ τὸ Ἅγιον Πνεῦμα ἔδωκεν ἀλλὰ χάρισμα ἓν τῶν τοῦ Πνεύματος, τὸ ἀφιέναι ἁμαρτίας· εὐθὺς γὰρ ἐπάγει, Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς. Εἶχε δὲ τὸ Πνεῦμα ὁ Υἱὸς οὐσιωδῶς, ὡς ὁμοούσιον αὐτῷ, οὐχ ὡς ἐνεργούμενος ὑπ᾽ αὐτοῦ· μὴ γένοιτο· οἱ γὰρ προφῆται ἐνηργοῦντο ὑπὸ τοῦ Πνεύματος, λέγεται δὲ τὸ Πνεῦμα εἶναι τοῦ Υἱοῦ (ὥς φησιν ὁ θεῖος ἀπόστολος), καθὸ ἀλήθεια μέν ἐστιν ὁ Υἱὸς καὶ δύναμις καὶ σοφία, τὸ δὲ Ἅγιον Πνεῦμα καὶ ἀληθείας καὶ ἰσχύος καὶ σοφίας πνεῦμα παρὰ τῷ Ἡσαΐᾳ γέγραπται. Καὶ ἄλλως δὲ, ἐπεὶ δι᾽ Υἱοῦ χορηγεῖται τοῖς ἀνθρώποις, διὰ τοῦτο τοῦ Υἱοῦ λέγεται. Χρὴ τοίνυν πιστεύειν, ὡς ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης διδάσκει, ἐκ τοῦ Πατρὸς μὲν τὸ Πνεῦμα προϊέναι, δι᾽ Υἱοῦ δὲ χορηγεῖσθαι τῇ κτίσει· οὗτος γάρ ἐστι παντὶ πιστῷ ὀρθοδοξίας κανών. Καὶ πάλιν ὁ αὐτὸς χρυσόγλωττος ἐν τῇ ἐξηγήσει τοῦ αὐτοῦ εὐαγγελικοῦ ῥητοῦ τάδε φησί· Πνεῦμα γάρ ἐστιν ἀληθείας· ὡς οὖν ἀληθείας πνεῦμα, μαρτυρήσει τὰ ἀληθῆ· ὡς δὲ ἐκ τοῦ Πατρὸς ἐκ-

34. S. Joann. 20, 22. 37. Act. App. 1, 8. 45. S. Joann. 20, 23. 52. Esa. 11, 2 (LXX) *πν. σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος.* S. Cyrill. Al. (?) cf. infr. 110. 59. Theophylact. Cf. S. Chrys. Hom. in S. Joann. 77 *ἐκεῖνος ἀξιόπιστος ἔσται, πν. γὰρ ἀληθ. κ.τ.λ.*

34. *ἀλλ᾽ ἴσως ἐρεῖ τις* H. *ἀλλ᾽ ἴσως ἐροῦσιν* BL. *ἀλλ᾽ ὅσως ἐροῦσιν* G. 36. *ἐνφύσεισε* G . . . *λήψεσθαι* B. 39. *πῶς δὲ* BH. *πῶς* GL. 41. *ἔδωκεν αὐτῶν* G. 42. *ἐστὶν ἐχόμενα* BH. *εἰσὶν ἐχόμενα* GL. 43. *τῷ τότε* BL. *τὸ τότε* G. *τότε* H. 44. *ἓν τῶν* BGL. *ἕν τι* H. 45. *ἀφιέναι—ἐπάγει* om. H. *ἀφιένειν* B . . . *ἀφεῖτε* G. 47. *ὡς ὁμοούσιον* GL. *ὁμοούσιον* (om. *ὡς*) BH. 50. *καθ᾽ ὃ* G. 57. *οὕτω γάρ ἐστι* G. 58. *χρυσόγλωτος* G.

πορευόμενον, πάντα οἶδεν ἀκριβῶς· ἐκεῖθεν γάρ ἐστιν ἐξ οὗ πάντων ἡ γνῶσις. Τὸ δὲ Ὃν ἐγὼ πέμψω, τὴν ἰσότητα δηλοῖ τὴν πρὸς τὸν Πατέρα· ἀλλαχοῦ γὰρ τὸν Πατέρα εἶπε πέμπειν τὸ Πνεῦμα, ἐνταῦθα δὲ ἑαυτὸν πέμψειν τοῦτο εἰπὼν, οὐδὲν ἄλλο ἢ τὴν ἰσότητα δηλοῖ. Ἵνα δὲ μὴ δόξῃ ἀντανιστᾶν ἑαυτὸν τῷ Πατρὶ ὡς ἀπ' ἄλλης ἐξουσίας πέμπων τὸ Πνεῦμα, προσέθηκε παρὰ τοῦ Πατρὸς, τουτέστιν εὐδοκοῦντος τοῦ Πατρὸς καὶ συναποστέλλοντος· οὐ γὰρ ἐξ οἰκείων κόλπων αὐτὸς (φησὶ) προΐεμαι τὸ Πνεῦμα, ὅτι παρὰ τοῦ Πατρὸς δι' ἐμοῦ χορηγεῖται. Ὁ δὲ ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ φησὶν, Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ αὐτῇ ἐπιστολῇ λέγει οὕτως· Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ· ὁ Θεὸς καὶ Πατὴρ διὰ τοῦ Πνεύματος τοῦ ἐξ αὐτοῦ ἐκπορευομένου. Καὶ ὁ ἅγιος Βασίλειος ἐν τῇ πρὸς Γρηγόριον τὸν ἀδελφὸν αὐτοῦ ἐπιστολῇ λέγει· Ὁ τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ καὶ τὸν οὗ ἔστι τὸ Πνεῦμα, τοῦ Χριστοῦ γάρ· καὶ τὸν ἐξ οὗ, ἐκ τοῦ Θεοῦ γὰρ καὶ Πατρὸς, καθώς φησιν ὁ ἀπόστολος. Ἰδοὺ γὰρ φανερῶς ἐπὶ τοῦ Υἱοῦ παρεσιωπήθη τὸ ἐξ οὗ, ὅτι οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα, ἀλλὰ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. Ὅτι δὲ καὶ τὸ Πνεῦμα λέγεται τοῦ Υἱοῦ καὶ δι' αὐτοῦ χορηγεῖται, καί φησιν ὁ πρωταπόστολος Πέτρος περὶ τοῦ Χριστοῦ ἐν ταῖς Πράξεσι· Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ

74. 1 Cor. 2, 12. 77. Ibid. v. 10. 80. Ep. 38 (=43) Vid. infr. l. 233. 260. 88. Act. App. 2, 33.

62. εἶδεν ἀκριβῶς G . . . ἐκεῖθεν γάρ ἐστιν B. ἐκ τοῦ Πατρὸς γάρ ἐστιν H om. GL. 64. τὴν ἰσότητα δηλοῖ Πατέρα G. 66. τοῦτο οὐδὲν ἄλλο κ.τ.λ. B. 69. εὐδοκήσαντος G. 70. οὐ γὰρ ἐξ αὐτοῦ reliquis praetermissis usque ad l. 88, (Θεοῦ ὑψωθεὶς κ.τ.λ.) L. . . . (φησὶ) om. BG. 72. ἀλλὰ παρὰ τοῦ Πατρὸς κ.τ.λ. B. 73. ὁ δὲ ἀπόστολος ἐν τῇ κ.τ.λ. H. τοῦ ἀποστόλου ἐκ τῆς πρὸς Κ. ἐπιστολῆς πρώτης BG. 76. καὶ πάλιν ὁ αὐτὸς κτλ. H. ἐκ τῆς αὐτῆς ἐπ. BG. 77. ὁ Θεὸς ὃ ἀπεκάλυψε H. 78. ὁ δὲ Θ. κ. Π. B. 79. Καὶ ὁ ἁ. Βασίλιος G. ὁ ἁ. Βασίλειος B [ὁ] δὲ ἁ. Β. H. 80. ὁ om. G . . . συνπαρέλαβε G.

ὑψωθεὶς τήν τε ἐπαγγελίαν τοῦ Ἁγιοῦ Πνεύματος λαβὼν παρὰ τοῦ Πατρὸς ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. Συνᾴδει τούτῳ καὶ ὁ κορυφαῖος τῶν ἀποστόλων Παῦλος, ἐπιστέλλων πρὸς Τῖτον τὸν αὐτοῦ μαθητὴν, Ἔσωσεν ἡμᾶς ὁ Θεὸς διὰ λούτρου παλιγγενεσίας καὶ ἀνακαινίσεως Πνεύματος Ἁγίου, ὃ ἐξέχεεν εἰς ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν.

Λέγεται πάλιν Πνεῦμα Χριστοῦ ὅτι συμπαρῆν ἀεὶ τῷ Χριστῷ, οὐχ ὡς ἐνεργοῦν ἀλλ᾽ ὡς ὁμοτίμῳ συμπαρομαρτοῦν, κατὰ τὸν θεολόγον Γρηγόριον. ταῖς γὰρ ἀληθείαις ἐν ὅλῃ τῇ παλαιᾷ γραφῇ οὐχ εὑρίσκεται τὸ Πνεῦμα ὀνομαζόμενον Πνεῦμα Χριστοῦ· ὅτε δὲ ἐνηνθρώπησεν ὁ Μονογενὴς χρισθεὶς Πνεύματι Ἁγίῳ, καὶ ὅτε τοῦτο ἐξέχεε πρὸς τοὺς πιστεύσαντας, τότε καὶ Πνεῦμα Χριστοῦ ἐκλήθη. Ὁ δὲ ἅγιος Κύριλλος Ἀλεξανδρείας ἐν τοῖς ἀντιρρητικοῖς αὐτοῦ λόγοις τοῖς πρὸς Ἰουλιανὸν τάδε φησί· Γεγέννηται μὲν γὰρ καὶ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς καὶ ἔστιν ἐν αὐτῷ τε καὶ ἐξ αὐτοῦ φυσικῶς· ἐκπορεύεται δὲ καὶ τὸ Πνεῦμα, ἴδιον ὂν τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ὁμοίως τοῦ Υἱοῦ ἴδιον· ἁγιάζει γὰρ δι᾽ αὐτοῦ τὸ ἁγιάζεσθαι πεφυκὸς ὁ Θεὸς καὶ Πατήρ. Καὶ ἐν τῷ τέλει τοῦ αὐτοῦ τόμου ὁ αὐτὸς πατὴρ λέγει, Πρόεισι μὲν γὰρ ἐξ αὐτοῦ τοῦ Πατρὸς τὸ Πνεῦμα κατὰ φύσιν, δι᾽ Υἱοῦ δὲ χορηγεῖται τῇ κτίσει. Ὁ αὐτὸς πατὴρ ἐν τῷ δευτέρῳ τόμῳ τῶν πρὸς Ἰουλιανὸν ἀντιῤῥήσεων λέγει· Ὅτι δὲ καὶ αὐτὴ τῶν στοιχείων ἡ φύσις

93. Tit. 3, 5. 98. S. Greg. Naz. or. 41 (in Pentecost.) ᾧ παρῆν, κ.τ.λ. 105. S. Cyrill. Alex. c. Julian. 1. 111. Ibid. 115. Contr. Julian. II.

89. *τήν τε ἐπαγγελίαν* om. L. *ἐπαγγελείαν* G. 90. *ὃ* GH. *ὃν* B. *ἃ* L . . . *νῦν* om. L. 91. *βλέπεται καὶ ἀκούεται* G . . . *συνάδει τοῦτο* G. 93. *τῆς παλιγγενεσίας* G . . . *ἀνακαινίσεως* GH. *ἀνακαινήσεως* L. *ἀνακαινώσεως* B. [*ἀνακαινίζειν* Ep. ad Hebr. 6, 6. Suidas: *ἀνακαίνισις ἡ ἀνανέωσις· λέγεται δὲ καὶ ἀνακαίνωσις.* Vid. Suicer. *s. v.*] 98. *ὁμοτίμῳ* BH. *ὁμοτίμως* GL . . . *συμπρομαρτυροῦν* B. 99. *τῇ γὰρ ἀληθεία* H. 102. *Πνεύματι Ἁγίου* L . . . *ὅταν* L. 104. *Ὁ δὲ ἅ. Κύριλλος Ἀλεξ. ἐν τοῖς ἀντιρρητικοῖς αὐτοῦ λόγοις* H. [*Καὶ*] *ὁ ἅ. Κ. Ἀ. ἐκ τῶν ἀντιρρητικῶν αὐτοῦ λόγων* BGL. 105. *γεγέννηται μὲν γὰρ ὁ Υἱ.* B. 106. *ὁ Θεὸς καὶ Π.* om. H. 114. *ἀντιρήσεων* G. 115. *τί δέ καὶ αὐτῇ* G.

οἴκοθέν τε καὶ ἐξ ἑαυτῆς οὐκ ἂν ἔχοι τὸ δύνασθαι διαδράναι τὴν φθορὰν, δεῖται δὲ μᾶλλον τῆς τοῦ συνέχοντος αὐτὴν πρὸς τὸ εὖ εἶναι χειρὸς, ἐδίδαξεν εἰπὼν ὁ προφήτης ὅτι Ἱ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.᾿ Ζωογονεῖ γὰρ τὰ πάντα, ζωὴ κατὰ φύσιν ὑπάρχον τὸ Πνεῦμα ὡς ἐκ ζωῆς τοῦ Πατρὸς καὶ ἐξ αὐτοῦ ἐκπορευόμενον. Καὶ πάλιν ὁ αὐτὸς πατὴρ λέγει πρὸς Νεστώριον, Ἀνάγκη τὸ Πνεῦμα ἐκ τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν τοῦ Υἱοῦ, ὡς γὰρ ἐξ αὐτοῦ κατὰ φύσιν καὶ ἐπὶ τὴν κτίσιν παρ᾿ αὐτοῦ πεμπόμενον τὸν ἀνακαινισμὸν ἐργάζεται. [Ὁ αὐτὸς ἐν τῷ] πρὸς τοὺς μοναστὰς [λόγῳ, οὗ ἡ ἀρχὴ,] Τὸ φιλομαθὲς καὶ φιλόπονον τῆς ὑμετέρας ἀγάπης, [φησί·] Τὸ Πνεῦμα προχεῖται μὲν [ἤγουν] ἐκπορεύεται καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ Πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ. Ὁ αὐτὸς ἐν τῷ περὶ Τριάδος λόγῳ φησί[ν]· Αὗται τῆς σεπτῆς Μονάδος αἱ προσκυνηταὶ τρεῖς ὑποστάσεις καὶ γινώσκονται καὶ πιστεύονται ἐν Πατρὶ ἀνάρχῳ, ἀϊδίῳ, ἀναιτίῳ· καὶ ἐν Υἱῷ μονογενεῖ, γεννηθέντι ἀρρήτως καὶ ἀφράστως καὶ ἀπαθῶς ἐκ τῆς οὐσίας αὐτῆς τοῦ Πατρός· [* * * * *]. Τοῦ αὐτοῦ· Κατ᾿ οὐδένα τρόπον σαλεύεσθαι παρά τινος ἀνεχόμεθα [τὴν ὁρισθεῖσαν πίστιν .. παρὰ τῶν ἁγιῶν ἡμῶν πατέρων ... Οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ᾿ αὐτὸ τὸ Πνεῦμα, τοῦ Θεοῦ καὶ Πατρὸς, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ.]

124. Thesaur. 34. 130. Ep. 55. Cf. Joann. Vecc. Epigr. 7 Ὁ αὐτὸς ἐν τῷ πρὸς μοναστὰς λόγῳ αὐτοῦ οὗ ἡ ἀρχὴ κ.τ.λ. 138. Cyrill. Alex. Ep. 39.

116. ἑαυτῆς L. αὐτῆς BGH . . . ἔχει G. 121. γὰρ om. G . . . ὑπάρχει B. 121. post τὸ Πνεῦμα add. B τοῦ Θεοῦ . . . G καὶ δι᾿ αὐτοῦ. 122. Καὶ πάλιν κτλ. Desunt reliqua in Codd. BHL usque ad l. 314 καὶ ὁ θαυματοῦργος Γρηγ.; exceptis iis quae citantur ex S. Dionysio Areopagita (l. 174), ex Basilio ἐν τοῖς ἠθικοῖς (l. 221), ex S. Gregorio Theologo (l. 289). 127—9. Verba uncis inclusa addidi per conjecturam. Codex lacunam nullam prae se fert. 129. ἡμετέρας G. 130. ἤγουν addidi ex Cyrillo desumptum. 136. μονογενῆ G. 138—143. Desiderantur aliqua, nullo tamen codicis hiatu. Verba τὴν ὁρισθ.—τοῦ Υἱοῦ a Cyrillo derivata sunt.

Θεοδωρίτου· Ἴδιον δὲ τὸ Πνεῦμα τοῦ Υἱοῦ, εἰ μὲν ὡς ὁμοφυὲς καὶ τοῦ Πατρὸς ἐκπορευόμενον ἔφη, συνομολογήσομεν καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν· εἰ δὲ ὡς ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο καὶ δυσσεβὲς ἀπορρίψομεν, πιστεύομεν γὰρ τῷ Κυρίῳ λέγοντι, Τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· καὶ τῷ θειοτάτῳ Παύλῳ ὁμοίως φάσκοντι, Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν ἀλλὰ τὸ ἐκ τοῦ Θεοῦ. Τοῦ αὐτοῦ· Καὶ ἐν Πνεύματι Ἁγίῳ ζωοποιῷ προσκυνουμένῳ, τῷ ἐκπορευομένῳ ἐκ τοῦ Πατρὸς, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, οὐ γεννητῷ ὡς ὁ Υἱὸς, ἵνα μὴ δύο Υἱοὶ ἐν τῇ Τριάδι, ἀλλ' ἐκπορευομένῳ καθάπερ εἴρηται ἐκ μόνου τοῦ Πατρὸς, ὡς ἀπὸ στόματος, πεφηνότι δὲ δι' Υἱοῦ καὶ λαλήσαντι ἐν τοῖς ἁγίοις πᾶσι προφήταις καὶ ἀποστόλοις· πλὴν, ὡς εἶπον, τῆς οὐσίας αὐτοῦ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὑπάρχοντι καὶ τὸ ὁμοούσιον ἔχοντι πρὸς Πατέρα καὶ Υἱόν. Καὶ ὁ ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης φησὶν ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ περὶ τῶν θείων ὀνομάτων λόγου, οὗ ἡ ἀρχὴ, Περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας καὶ Τίς ἡ θεία ἕνωσις καὶ διάκρισις, μετὰ τὸ προοίμιον φησὶν, Ἰστέον οὖν ὡς ἐπὶ πάσης τῆς Θεότητος τὸ ἀγαθὸν ληπτέον· καὶ ὡς αὐτός τε ἀγαθοφυὴς ἔφη Λόγος, Ἐγὼ ἀγαθός εἰμι· καί τις τῶν θεολήπτων προφητῶν ὑμνεῖ τὸ Πνεῦμα τὸ ἀγαθόν. [Καὶ αὖθις,] Ἐγώ εἰμι ὁ ὢν ὃ ἦν καὶ ὁ ἐρχόμενος, ὁ Παντοκράτωρ. Καὶ, Σὺ δὲ [ὁ] αὐτὸς εἶ. Καὶ, Τὸ Πνεῦμα τῆς ἀληθείας τὸ ὂν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Καὶ μεθ' ἕτερα, Ὅτι μὲν ἐστὶ πηγαία Θεότης ὁ Πα-

144. Theodoret. repreh. XII capp. (anath. 9). 166. S. Dionys. Areop. de divin. nom. II. §. 1 *ῥητέον οὖν κτλ.* 174. Cf. Georg. Pachym. *καὶ σκέψαι πῶς φησὶ τὴν χρῆσιν ταύτην [τὸ ὄν]· οὐδὲ γὰρ φέρεται οὕτω νῦν.*

155. *γεννητὸν* G. 162. *Ἀρεοπαγήτης* G. 164. *διακεκριμμένης* G. 165. *ἡ ἕνωσις* G. 167. *ληπτόν* G. 173. *τὸ ὢν* G. 174. *καὶ μεθ' ἕτερα* G. ὁ δὲ ἅγιος Δ. ὁ Ἀ. φησὶν H. (δὲ om. BL) . . . *πηγαία θεότης* BL. *πηγαία θεότητος* GH.

τήρ· ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τῆς ζωογόνου Θεότητος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν. Ὅπως δὲ ταῦτα ἔστιν οὔτε εἰπεῖν οὔτε νοῆσαι δυνατόν· ἀλλὰ μέχρι τούτου τῆς καθ' ἡμᾶς νοερᾶς ἐνεργείας ἡ πρόοδος. Ὁράτωσαν οἱ λέγοντες ὅτι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα· ἐκ τοῦ Πατρὸς γὰρ ἄμφω· ὁ μὲν Υἱὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἐκπορευτῶς. Καὶ ὁ μέγας δὲ καὶ θεῖος Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα δευτέρᾳ ἐπιστολῇ φησίν· Ὅθεν καὶ ἐπὶ τῆς Θεότητος μόνης ὁ Πατὴρ καὶ μόνος κυρίως Πατὴρ ἔνεστι· καὶ ὁ Υἱὸς καὶ μόνος κυρίως Υἱός ἐστι· καὶ ἐπὶ τοῦτο ἕστηκε [τὸ] Πατὴρ [ἀεὶ Πατὴρ], καὶ τὸ Υἱὸς ἀεὶ Υἱὸς εἶναί τε καὶ λέγεσθαι· καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον ἀεὶ Πνεῦμα Ἅγιόν ἐστι· καὶ τὸ τοῦ Θεοῦ εἶναι παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ διδόσθαι πεπιστεύκαμεν. Οὕτω καὶ ἡ Ἁγία Τριὰς ἀναλλοίωτος μένει ἐν μιᾷ Θεότητι γινωσκομένη. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος λόγῳ· Εἰ ἐφρόνουν ὀρθῶς καὶ περὶ Υἱοῦ, ἐφρόνουν ὀρθῶς καὶ περὶ τοῦ Ἁγίου Πνεύματος ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται καὶ τοῦ Υἱοῦ ἴδιον ὃν παρ' αὐτοῦ δίδοται τοῖς μαθηταῖς καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν. Καὶ αὖθις· Καὶ γὰρ ὥσπερ γέννημα μονογενὲς ὁ Υἱός ἐστιν, οὕτω καὶ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ διδόμενον καὶ πεμπόμενον, καὶ αὐτὸ ἓν καὶ [οὐ] πολλὰ οὐδὲ ἐκ πολλῶν ἕν· ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ, τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν οὖσαν αὐτοῦ ἐνέργειαν καὶ δωρεὰν, ἥτις γε ἐκ τοῦ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ παρὰ τοῦ Λόγου τοῦ ἐκ τοῦ Πατρὸς ὁμολογουμένου ἐκλάμπει καὶ ἀπο-

184. S. Athan. ad Serap. Ep. 4. 194. Ib. Ep. 1.

175. ζωογόνου BHL. θεογόνου G. 176. φάνε G. 179. οὔτ' ἐννοῆσαι B ... ἀλλὰ μέχρι τούτου—ἡ πρόοδος om. HL. 181. καὶ, et γὰρ om. G. 182. γεννητὸς, ἐκπορευτὸν G. 184. Σεραπίονα G. 187—201. Verba quædam arcessivi ex Athanasio (l. c.). 202. οὔτως G.

στέλλεται καὶ δίδοται. Ὥσπερ οὐδέν ἐστι μέσον νοῦ καὶ λόγου καὶ πνοῆς, οὕτως οὐδὲν μέσον Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος. Νόησαι δὲ τὸ Πνεῦμα τέλειον ἐν τελείᾳ ὑποστάσει παρὰ τοῦ Πατρὸς ἐκπορευόμενον. Τοῦ αὐτοῦ περὶ τῶν προσκυνητῶν· Οἱ ἀληθινοὶ προσκυνοῦσι μὲν τῷ Πατρὶ, ἀλλ' ἐν Πνεύματι καὶ ἀληθείᾳ, ὁμολογοῦντες Υἱὸν καὶ ἐν αὐτῷ τὸ Πνεῦμα· ἀχώριστον γὰρ τοῦ Υἱοῦ τὸ Πνεῦμα ὡς ἀχώριστος ὁ Υἱὸς τοῦ Πατρός· αὐτὴ γάρ ἐστιν ἡ Ἀλήθεια ἡ λέγουσα, Πέμψω ὑμῖν τὸ παράκλητον Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, τουτέστιν οἱ ἀρνούμενοι αὐτὸ ἐκ τοῦ Πατρὸς ἐν τῷ Υἱῷ. Ὁ δὲ μέγας Βασίλειος ἐν τοῖς ἠθικοῖς αὐτοῦ λόγοις φησίν· Οὔτε οὖν ἀλλότριον τῆς τοῦ Θεοῦ δόξης τὸ Πνεῦμα ἐκ τοῦ ἀρρήτου στόματος ἀρρήτως ἐκπεφηνὸς, οὔτε αὐτὸς ὁ Θεὸς, ἀλλὰ Θεοῦ Πνεῦμα καὶ παρὰ Θεῷ· ἀποστελλόμενον δὲ παρὰ Θεοῦ καὶ δι' Υἱοῦ χορηγούμενον. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πρὸς Ἀνομοίους λόγῳ φησὶν ὅτι ὁ μὲν Πατὴρ γεννᾷ, τουτέστιν ὅτι ἐγέννησεν· ὁ δὲ Υἱὸς γεννᾶται, τουτέστιν ὅτι γεγέννηται· καὶ ὅτι αὐτὸς ὁ Πατὴρ ἐκπέμπει τὸ Πνεῦμα, τουτέστιν ὅτι ἐξέπεμψε· καὶ τὸ Πνεῦμα ἐκπορεύεται, τουτέστιν ὅτι ἐκπεπόρευται. Καὶ μετ' ὀλίγα· Πατέρα μὲν μὴ εἶναι τὸν Υἱὸν, τῆς δ' αὐτῆς εἶναι φύσεως τῷ Πατρί· καὶ τὸ Πνεῦμα δὲ τοῦ Θεοῦ Υἱὸν μὴ εἶναι μήτε Πατέρα, τῆς δ' αὐτῆς εἶναι φύσεως τῷ Πατρὶ, ἐπειδὴ παρ' αὐτοῦ

212. Ib. Ep. 2. 221. S. Basil. Opp. App. (περὶ τοῦ Ἁ. Πν. ἢ εἰς τὸ ἅγιον βάπτισμα). 227. S. Athan. Opp. Spur. (διάλογος περὶ τῆς Τριάδος).

208. νοῦν καὶ λόγον G. 220. ὁ δὲ μέγας G. καὶ ὁ μ. H. ὁ μ. BL. 223. πεφηνὸς G ... οὔτε καὶ αὐτὸ οὐ Θεὸς H. 225. περὶ pro παρὰ G bis. 226. ἐν τοῖς πρὸς Ἀνομοίους λόγοις B. ἐν τῷ—λόγῳ H. ἐκ τοῦ λόγου G. ἐκ τοὺς πρὸς Ἀνομίους λόγος L ... φησὶν om. B ... ὅτι ὁ μὲν BL. ὅτε μὲν ὁ H. ὅτι μὲν (om. articulo) G. 230. τουτέστιν ἐξέπεμψε (om. ὅτι) G. 231. ἐκπεπόρευται pro ἐκπορεύεται L ... τουτέστιν ὅτι ἐκπεπ. om. H. 232. μετ' ὀλίγον B ... Πατέρα μὲν μὴ εἶναι BL (G om. μὴ). Πνεῦμα κ.τ.λ. H. 233. φύσεως om. B ... εἶναι om. G.

ἐκπορεύεται. Τοῦ αὐτοῦ πρὸς Γρηγόριον τὸν ἀδελφὸν αὐτοῦ δι' ἐπιστολῆς. [Ὁ] τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῆς ὁμολογίας ταύτης καὶ τὸν οὗ ἐστὶ Πνεῦμα, τοῦ Χριστοῦ γάρ· καὶ τὸν ἐξ οὗ· ἐκ τοῦ Θεοῦ γὰρ καὶ Πατρὸς, καθώς φησιν ὁ ἀπόστολος. Πάλιν ἐν τῷ κατὰ Σαβελλιανοῦ καὶ Ἀρείου καὶ Εὐνομίου λόγῳ φησὶν, Ἀλλὰ μὴ χωρίσῃς Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον δυσωπείτω σε ἡ παράδοσις τοῦ Κυρίου. Ὁ Κύριος οὕτως ἐδίδαξεν, οἱ ἀπόστολοι ἐκήρυξαν, οἱ πατέρες διετήρησαν, οἱ μάρτυρες ἐβεβαίωσαν. Ἀρκέσθητι λέγειν ὡς ἐδιδάχθης, καὶ γίνωσκε τὸν Πατέρα ἀγέννητον καὶ ἀναίτιον, τὸν Υἱὸν γεννητὸν καὶ αἰτιατὸν καὶ ἐκ τοῦ Πατρὸς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορευτὸν ἐκ μόνου τοῦ Πατρὸς, ὡς αὐτὸς ὁ Κύριος καὶ [οἱ] ἅγιοι πατέρες παραδεδώκασιν. Ἐγὼ δὲ μετὰ Πατρὸς οἶδα τὸ Πνεῦμα, οὐχὶ δὲ καὶ Πατέρα· καὶ μετὰ Υἱοῦ παρέλαβον, οὐχὶ δὲ Υἱὸν ὠνομασμένον. Ἀλλὰ τὴν μὲν πρὸς τὸν Πατέρα οἰκειότητα νοῶ· ἐπειδὴ ἀκούω, Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει οὐκ ἔστιν αὐτοῦ. Εἰ μὴ γὰρ οἰκεῖον Χριστῷ, πῶς οἰκειοῖ Χριστῷ; Ἀλλὰ καὶ Πνεῦμα ἀκούω 'τῆς ἀληθείας'· ἀλήθεια δὲ ὁ Κύριος. Ὅταν δὲ ἀκούω 'Πνεῦμα υἱοθεσίας' εἰς ἔννοιαν ἔρχομαι τὴν πρὸς τὸν Πατέρα. Καὶ ἀλλαχοῦ· Ἀλλὰ κυρίως ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ, ἐπειδὴ καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἐξῆλθε, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητὸς, τὸ δὲ Πνεῦμα ἀρρήτως ἐκ τοῦ Θεοῦ. Τοῦ αὐταδέλφου αὐτοῦ Γρηγορίου τοῦ Νύσσης ἐν τῷ πρὸς τὸν ἕτερον αὐτοῦ ἀδελφὸν Πέτρον τάδε φησίν· Ἐκ γὰρ τοῦ Πατρὸς ὁ Υἱὸς, δι' οὗ τὰ πάντα, ᾧ τὸ Πνεῦμα τὸ Ἅγιον ἀχωρίστως συνεπινοεῖται· οὐ γὰρ ἔστιν ἐν περινοίᾳ Θεοῦ γενέσθαι μὴ καταυγασθέντα τῷ Πνεύ-

237. Cf. supr. l. 80. 242. Hom. 24. 266. Ep. 38=43. Vid. supr. l. 80, 237.

236. ἐκπεπόρευται L. 241. ἐκ τοῦ Σαβ.—λόγον G. 243. παράδωσις G. 253. ὀνομασμ. G. 258. υἱωθεσίας G. 265. Νύσης G. 269. γενέσεως (pro γενέσθαι) B.

ματι. Ἐπειδὴ τοίνυν τὸ Ἅγιον Πνεῦμα, ἀφ᾽ οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ Υἱοῦ μὲν ἤρτηται ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται· [τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν Υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι] καὶ [τὸ] παρὰ τοῦ Πατρὸς ὑφεστάναι. Ὁ δὲ Υἱὸς [ὁ] τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι᾽ ἑαυτοῦ καὶ μεθ᾽ ἑαυτοῦ γνωρίζων. Ὁ αὐτὸς πρὸς Ἀβλάβιον καὶ τάδε· Τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾗ μόνῃ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν τῷ τὸ μὲν αἴτιον πιστεύειν, τὸ δὲ ἐκ τοῦ αἰτίου· καὶ [τοῦ] ἐξ αἰτίας ὄντος ἄλλην πάλιν διαφορὰν ἐννοοῦμεν. Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου· ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν καὶ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν. Καὶ ὁ μέγας δὲ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τῷ εἰς τὰ ἅγια φῶτα λόγῳ αὐτοῦ τάδε καὶ αὐτὸς φησί· Πνεῦμα Ἅγιον ἀληθῶς τὸ Πνεῦμα προϊὸν μὲν ἐκ τοῦ Πατρὸς, οὐχ υἱϊκῶς δὲ, οὐδὲ γὰρ γεννητῶς· ἀλλ᾽ ἐκπορευτῶς, εἰ δεῖ τι καὶ καινοτομῆσαι περὶ τὰ ὀνόματα σαφηνείας ἕνεκεν· οὔτε τοῦ Πατρὸς ἐκστάντος τῆς ἀγεννησίας διότι γεγέννηκεν, οὔτε τοῦ Υἱοῦ τῆς γεννήσεως ὅτι ἐκ τοῦ ἀγεννήτου· πῶς γάρ; οὔτε τοῦ Πνεύματος ἢ εἰς Πατέρα μεταπίπτοντος ἢ εἰς Υἱὸν ὅτι ἐκπεπόρευται. Καὶ ἐν τῇ πρὸς Ἥρωνα τὸν φιλόσοφον λέγει, Ὁρίζου δὲ καὶ τὴν ἡμετέραν εὐσέβειαν διδάσκων ἕνα μὲν εἰδέναι

280. S. Greg. Nyss. (‘Quod non sint tres Dii.’) 291. S. Greg. Naz. Or. 39. 299. Or. 25.

272. *εἴρηται ἢ ἤρτηται* G. 274—77. Verba quæ videntur excidisse ex ipsa epistola restitui. 279. *τὸ ὁρίζων* G . . . *Εὐλάβιον* G. 285. *ὄντως* G. 289. *Καὶ ὁ μ. δὲ Γρ. κ.τ.λ.* G. *ὁ δὲ ἅγιος Γρ. ὁ Θεολόγος* BHL. 290. *ἅγια* om. G: addit *τάδε καὶ αὐτὸς*. 291. *Πν. Θεῖον Ἅγιον* B . . . *προϊὸν* (om. *μὲν*) G. 292, 3. *γεννητὸς, ἐκπορευτὸς* G . . . *εἰ δεῖ τι καινοτ.* (om. *καὶ*) G. 294. *ὄνομα* pro *ὀνόματα* L.

Θεὸν ἀγέννητον, τὸν Πατέρα· ἕνα δὲ γεννητὸν τὸν Υἱὸν, Θεὸν ὄντα καθ᾽ ἑαυτὸν λόγον τε προσαγορευόμενον, Κύριον δὲ ὅταν μετὰ Πατρὸς ὀνομάζηται· τὸ μὲν διὰ τὴν φύσιν, τὸ δὲ διὰ τὴν μοναρχίαν· ἓν Πνεῦμα Ἅγιον, προελθὸν ἐκ τοῦ Πατρὸς ἢ καὶ προϊὸν, Θεὸν τοῖς νοητῶς νοοῦσι τὰ παρακείμενα· τοῖς μὲν ἀσεβέσι καὶ πολεμούμενον, τοῖς δὲ ὑπὲρ τούτους καὶ νοούμενον, τοῖς πνευματικοῖς δὲ καὶ λεγόμενον. Καὶ αὖθις· Κοινὸν μὲν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι τὸ μὴ γεγονέναι καὶ ἡ θεότης, Υἱῷ δὲ καὶ Ἁγίῳ Πνεύματι τὸ ἐκ τοῦ Πατρός· ἴδιον δὲ Πατρὸς μὲν, ἡ ἀγεννησία· Υἱοῦ δὲ, ἡ γέννησις· Πνεύματος δὲ, ἡ ἐκπόρευσις. Καὶ ὁ θαυματουργὸς Γρηγόριος ἐν τῇ μυσταγωγηθείσῃ αὐτῷ θεολογίᾳ λέγει, Εἷς Θεὸς, Πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἀϊδίου, τέλειος τελείου γεννήτωρ, Πατὴρ Υἱοῦ μονογενοῦς· καὶ εἷς Κύριος, μόνος ἐκ μόνου, Θεὸς ἐκ Θεοῦ, χαρακτὴρ καὶ εἰκὼν θεότητος, Λόγος ἐνεργὸς, σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτικὴ καὶ δύναμις τῆς ὅλης φύσεως ποιητική· Υἱὸς ἀληθινὸς ἀληθινοῦ Πατρὸς ἀόρατος ἀοράτου καὶ ἄφθαρτος ἀφθάρτου καὶ ἀθάνατος ἀθανάτου καὶ ἀΐδιος ἀϊδίου· ἓν Πνεῦμα Ἅγιον ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον καὶ δι᾽ Υἱοῦ πεφηνὸς δηλαδὴ τοῖς ἀνθρώποις, εἰκὼν τοῦ Υἱοῦ τελείου τελεία, ζωῆς ζώντων αἰτία, πηγὴ ἁγία, ἁγιότης, ἁγιασμοῦ πεφηνὸς χορηγὸν, ἐν ᾧ φανεροῦται Θεὸς ὁ Πατὴρ ὁ ἐπὶ πάντων καὶ ἐν πᾶσι, καὶ Θεὸς ὁ Υἱὸς ὁ διὰ πάντων, Τριὰς τελεία δόξῃ

315. S. Greg. Thaum. Expos. fidei.

306. *ἀνοήτως* G. 314. *καὶ ὁ Θ. Γρ.* GH. *ὁ Θ. ἅγιος Γρ.* BL . . . *μυσταγωγηθήσει* G. 316. *ὑφεστώσει* G. 317. *τέλειον γεγεννητῶς* G. 321. *περιεκτικὴ* BHL. *ποιητικὴ* G . . . *καὶ δυν.—ποιητ.* om. L. 326. *πεφηνὼς* G. 326—336. *εἰκὼν—ἀεὶ* om. B. 327. *τελεία* B. *τέλειον* G. 327—28. *ζωὴ ζώντων αἰτία, πηγὴ ἁγία, ἁγιότης ἁγιασμοῦ πεφηνὸς χορηγὸν* H. *ζωῆ ζώντων αἰτία ἁγιασμοῦ πεφηνὸς χορηγὸς* L. *ζωῆς ζ. αἴτιος ἁγιασμοῦ πεφηνὼς χορηγὸς* G.

καὶ ἀϊδιότητι, βασιλείᾳ μὴ μεριζομένῃ μηδὲ ἀλλοτριουμένῃ. Οὔτε οὖν κτιστόν τι ἢ δοῦλον ἐν τῇ Τριάδι οὔτε ἐπεισακτὸν, ὡς πρότερον μὲν οὐχ ὑπάρχον ὕστερον δὲ ἐπεισελθόν· οὔτε γὰρ ἐνέλιπέ ποτε Υἱὸς Πατρὶ οὔτε Υἱῷ τὸ Πνεῦμα, ἀλλ᾽ ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ Τριὰς ἀεί. Καὶ ὁ Νυσσαέων Γρηγόριος ἐν τῷ περὶ τῆς ἁγίας Τριάδος λέγει· Ὅτι ὁ Πατὴρ μένει Πατὴρ καὶ Υἱὸς οὐ γίνεται· καὶ ὁ Υἱὸς μένει Υἱὸς καὶ Πατὴρ οὐ γίνεται· καὶ τὸ Πνεῦμα μένει Πνεῦμα καὶ Υἱὸς οὔκ ἐστιν οὔτε Πατήρ. Καὶ ὁ Υἱὸς γεννηθεὶς ἔστι Λόγος καὶ μένει Υἱός· ὁμοίως καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ὃ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται ἔστι Πνεῦμα δι᾽ οὗ πάντα ἁγιάζεται. Ἔστιν οὖν Τριὰς ὁμοούσιος, Πατὴρ Υἱὸς καὶ Ἅγιον Πνεῦμα. Καὶ ὁ ἅγιος Ἐπιφάνιος Κύπρου φησὶ, Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Ἅγιον Πνεῦμα, καὶ οὐ Θεοὺς, οὐ γὰρ πολυθεΐα ἐν Θεῷ· διὰ δὲ τῶν τριῶν ὀνομάτων ἡ μία Θεότης Πατρὸς Υἱοῦ καὶ Ἁγίου Πνεύματος. Καὶ οὐ δύο υἱοὶ, μονογενὴς γὰρ ὁ Υἱός. Τὸ δὲ Ἅγιον Πνεῦμα, Πνεῦμα Ἅγιον, Πνεῦμα Θεοῦ, ἀεὶ ὂν σὺν Πατρὶ καὶ Υἱῷ, οὐκ ἀλλότριον Θεοῦ, ἀπὸ Θεοῦ δὲ ὂν, ἀπὸ Πατρὸς ἐκπορευόμενον καὶ ἐκ τοῦ Υἱοῦ λαμβάνον, καὶ ἀναγγέλλον τοῖς ἀξίοις. Καὶ μετ᾽ ὀλίγα· Πνεῦμα Θεοῦ Πνεῦμα τέλειον, παράκλητον, ἄκτιστον, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἐκ τοῦ Υἱοῦ λαμβάνον. Καὶ ὁ ἅγιος Κύριλλος Ἱεροσολύμων φησίν· Εἷς Θεὸς καὶ Πατὴρ, πα-

346. S. Epiph. Anc. vi. 357. S. Cyrill. Hierosol. Catech. xvi (= de Sp. S. 1).

334. *ὑπάρχων, ἐπεισελθὼν* G. 336. *καὶ ὁ Ν.* GH. *καὶ* om. BL. 337. *Νυσαέων* G . . . *ἐν τῷ . . . λόγῳ* H. *ἐκ τοῦ . . . λόγου* BGL. 339. *καὶ ὁ Υἱ.—γίνεται* om. L. 340. *Υἱὸς οὐκ ἔστιν κ.τ.λ.* BGL. *οὔτε Υἱὸς οὔτε Πατὴρ γίνεται* H. 341. *ὁ γεννηθεὶς* (om. *Υἱὸς*) B. 345. *Καὶ* om. BL . . . *φησὶ* BH. *φησὶν* GL. 348. *διὰ δὲ τριῶν ὀνομ.* (om. *τῶν*) H. 351. Pro *Πν. Ἅγ. Πν. Θεοῦ, Θεὸς* H. 353. Pro *ὂν, ἦν* G . . . *ἐκ Πατρὸς* H. 354. *καὶ ἀναγγ.—ἀξίοις* add. H. 355, 364. *ὀλίγον* B. 357. *ἐκ τοῦ Υἱοῦ λ.* om. H . . . *λαμβάνων* G . . . *καὶ* GH om. BL. 358. *Ἱεροσ.* om. B . . . *παλαιᾶς*. Cetera desiderantur in Cod. Gonvillo-Caiano.

λαιᾶς καὶ καινῆς διαθήκης δεσπότης· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, ὁ ἐν παλαιᾷ προφητευθεὶς καὶ ἐν καινῇ παραγενόμενος· καὶ ἓν Πνεῦμα Ἅγιον τοῦ Θεοῦ τὸ διὰ τῶν προφητῶν μὲν περὶ τοῦ Χριστοῦ κηρῦξαν, ἐλθόντος δὲ τοῦ Χριστοῦ καταβὰν καὶ ἐπιδεῖξαν αὐτόν. Καὶ μετ᾽ ὀλίγα· Ἔστι γὰρ Πνεῦμα Θεοῦ ἄναρχον ἀγαθὸν, ὥς φησι Δαβὶδ, Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Τοῦτο οὖν ἐστὶ τὸ Πνεῦμα τοῦ Θεοῦ εἰς ὃ πιστεύομεν, τὸ Πνεῦμα τὸ μακάριον, τὸ ἀΐδιον, τὸ ἀναλλοίωτον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ ἐκ τῆς Θεότητος τοῦ Πατρὸς ὑπάρχον· τὸ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ τυγχάνον, ἀχώριστόν τε καὶ ἀδιαίρετον. Καὶ ὁ Χρυσόστομος ἐν τῷ εἰς τὸν εὐαγγελισμὸν δευτέρῳ λόγῳ αὐτοῦ κατὰ Ἀρείου φησί· Ἐγὼ δὲ παιδαγωγούμενος ὑπὸ τῶν ἁγίων γραφῶν ὑμνῶ τὸν Πατέρα τὸν ἀεὶ Πατέρα τυγχάνοντα· ὑμνῶ τὸν Υἱὸν τὸν ἐκ τῆς πατρῴας οὐσίας ἀχρόνως ἐκλάμψαντα· ὑμνῶ τὸ Πνεῦμα τὸ Ἅγιον τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον καὶ ἐν Υἱῷ ἀναπαυόμενον. Καὶ ὁ ἅγιος Ἰσίδωρος ὁ Πηλουσιώτης φησί· Πιστεύειν ἅπαντας δεῖ ὡς ὁμοούσιος τοῦ Πατρὸς ὁ μονογενὴς Υἱὸς καὶ συναΐδιος τοῦ γεννήσαντος. Καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς μὲν ἐκπορεύεσθαι πιστεύομεν, ᾗ φησὶν ὁ δεσπότης Χριστός· τὸ Πνεῦμα γὰρ, φησὶν, ὃ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. Τὸ δὲ πῶς οὐ πολυπραγμονοῦμεν, ἀλλότριον τῆς πίστεως τὴν πολυπραγμοσύνην ἡγούμενοι. Καὶ ὁ ἅγιος Σωφρόνιος Ἱεροσολύμων πατριάρχης ἐν τοῖς συνοδικοῖς αὐτοῦ λόγοις μετὰ τὴν θεολογίαν Πατρὸς καὶ Υἱοῦ φησί· Καὶ εἰς τὸ Πνεῦμα τὸ

364. S. Cyrill. Hier. (?) in calce Catech. XVI. 389. S. Sophron. Ep. Synod. ad Serg.

360. τὸ διὰ τῶν προφητῶν L. διὰ πρ. BH. 365. ὡς H. ὃ L. ᾗ B. 369. Πατρὸς (om. τοῦ) B. 372. Καὶ H om. BL. 373. δευτέρῳ om. H. 378. καὶ ἐν Υἱ. ἀναπ. om. B. Habet verba in marg. sed manu recentiore. 383. ᾗ BH. ὃ L. 387. καὶ add. H . . . πατριάρχης add. B. 388. μετὰ τὴν Θ. κτλ. BL. Θεολογῶν οὕτω φησὶ H.

Ἅγιον τὸ ἀΐδιον ἔκ τε τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον καὶ ὑπάρχον Πατρὶ καὶ Υἱῷ συναΐδιον καὶ ὁμότιμον, τῆς αὐτῆς φύσεως καὶ οὐσίας καὶ Θεότητος. Καὶ μετ' ὀλίγα· Μηδεὶς πολυπραγμονείτω πῶς ὁ Πατὴρ ἐγέννησε τὸν Υἱὸν ἢ πῶς τὸ πανάγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. Τοῦτο γὰρ οὐδ' αὐταὶ αἱ ἀγγελικαὶ δυνάμεις γινώσκουσιν· ὥστε οὖν ὁ πολυπραγμονῶν ἐκπίπτει τοῦ Θεοῦ. Καὶ ὁ ἐκ Δαμάσκου φωστὴρ Ἰωάννης ἐν τῇ θεολογίᾳ τῇ μετὰ τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου λέγει· Καὶ μόνον τὸ Πνεῦμα τὸ Ἅγιον τὸ ἀΐδιον ἐκπορευτὸν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, οὐ γεννώμενον ἀλλ' ἐκπορευόμενον, οὕτω με τῆς θείας διδασκούσης γραφῆς· τοῦ τρόπου τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως ἀκαταλλήπτου ὑπάρχοντος. Καὶ μετ' ὀλίγα· Ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς· τὸ δὲ Πνεῦμα τὸ Ἅγιον καὶ αὐτὸ μὲν ἐκ τοῦ Πατρὸς, ἀλλ' οὐ γεννητῶς ἀλλ' ἐκπορευτῶς. Καὶ ὅτι μὲν ἔστι διαφορὰ γεννήσεως καὶ ἐκπορεύσεως μεμαθήκαμεν· τίς δὲ ὁ τρόπος τῆς διαφορᾶς, οὐδαμῶς· ἅμα δὲ καὶ ἡ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς γέννησις καὶ ἡ τοῦ Ἁγίου Πνεύματος ἐκπόρευσις. Καὶ ὁ πατριάρχης Ἀντιοχείας Ἀναστάσιος ἐν τοῖς λόγοις αὐτοῦ τοῖς περὶ τῶν ὀρθῶν τῆς ἀληθείας δογμάτων λέγει· Τὸ αὐτὸ καὶ περὶ τοῦ Ἁγίου Πνεύματος καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν ὅτι ὁμοούσιόν ἐστι Πατρὶ καὶ Υἱῷ καὶ συναΐδιον, ὡς ἀεὶ συνυπάρχον· ὃ γὰρ ἐστὶ τὴν οὐσίαν ὁ γεννή-

400. S. Joann. Damasc. de fide orthod. 1, 8. 414. S. Anastas. Antioch. de rect. dogm. or. 1. Latine exstat in Patrol. Graec. ed. Mign. LXXXIX p. 1315.

390. ἔκ τε Θεοῦ BL. ἐκ τοῦ Θεοῦ H. 398. *Καὶ* add. H . . . ἐν τῇ Θεολογίᾳ κτλ. BL. Θεολογῶν οὕτω φησί· H. 400. μόνον om. H . . . τὸ Ἅγιον om. B. 401. Post ἐκπορ. add. καὶ μόνον H. 402. γεννώμενον HL. γενόμενον B. 406. Pro γεννητῶς, γεννητός G. 410. ἅμα δὲ καὶ ἡ τοῦ Υἱ. H. ἅμα δὲ καὶ Υἱ. L. ἅμα καὶ Υἱ. B. 412. ὁ π. Ἀντ. Ἀναστ. H. ὁ Ἀναστ. π. Ἀντ. BL. 413. ἐν τοῖς περὶ ὀρθ. δογμ. λόγοις αὐτοῦ H. 415. πιστεύομεν (om. καὶ) H. 422. τὴν οὐσίαν BL. τῇ οὐσίᾳ H.

σας Πατὴρ καὶ ὁ γεννηθεὶς Υἱὸς, τοῦτο καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἔστι· καὶ ὥσπερ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ τὸ Πνεῦμα ἐξ αὐτοῦ· ὁ μὲν γεγεννημένος, διὸ καὶ Υἱός· τὸ δὲ ἐκπορευόμενον, καὶ ἔστι Πνεῦμα· μᾶλλον δὲ χρὴ λέγειν, τὸν μὲν Υἱὸν ἀεὶ γεννώμενον, τὸ δὲ Πνεῦμα ἀεὶ ἐκπορευόμενον. Καὶ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος φησὶν ἐν τῷ περὶ τοῦ Πνεύματος Ἁγίου λόγῳ αὐτοῦ. Ποῦ γὰρ θήσεις τὸ ἐκπορευτὸν, εἰπέ μοι; μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ παρὰ τοῦ κρείττονος ἢ κατὰ σὲ Θεολόγου, τοῦ Σωτῆρος ἡμῶν, εἰσαγόμενον; εἰ μὴ τὴν φωνὴν ἐκείνην τῶν σῶν ὑπέξεῖλες εὐαγγελίων διὰ τὴν τρίτην σου διαθήκην, ‘Τὸ Πνεῦμα τὸ Ἅγιον ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται’. Ὃ καθόσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα· καθόσον δὲ οὐ γεννητὸν, οὐχ Υἱός· καθόσον δὲ ἀγεννήτου καὶ γεννήτου μέσον, Θεός. Καὶ οὕτω τὰς τῶν συλλογισμῶν ἄρκυς διαφυγὼν Θεὸς ἀναπέφηνε, τῶν σῶν διαιρέσεων ὑψηλότερος. Καὶ παρακατιὼν, Εἰπὲ σὺ, φησὶ, τὴν ἀγεννησίαν τοῦ Πατρὸς, κἀγὼ τὴν γέννησιν τοῦ Υἱοῦ καὶ τὴν ἐκπόρευσιν φυσιολογήσω τοῦ Πνεύματος· καὶ παραπληκτίσομεν ἄμφω, εἰς Θεοῦ μυστήρια παρακύπτοντες. Ὁράτωσαν ἐνταυθοῖ ὅπως καὶ ὁ Θεολόγος οὑτωσὶ ἁπλῶς εἴρηκε τὴν τοῦ Πνεύματος ἐκπόρευσιν, ὡσὰν τὴν συνηθῆ δεξαίμεθα ἣν ἐκ τοῦ Πατρὸς ἔσχηκεν.

425. S. Greg. Naz. or. 31 (=Theol. 5). 446. S. Aug. Serm. supposit. 233 [ex anath. XVI. Damasi Papæ] "Spiritum S. de Patre esse vere ac *proprie:* =(Theodoret.) *ἐκ τοῦ Πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως.*" Cf. de Trin. x. 29: procedit *principaliter.*

424. *ὥσπερ* BH. *ὅπερ* L. 422—23. *τὸν μὲν Υἱ. ἀεὶ γεννώμ. τὸ δὲ Πν. ἀεὶ ἐκπ.* H. om. *Υἱὸν* L. *τὸ μὲν ἀεὶ γενόμενον τὸ δὲ ἐκπ.* B. 424. *Καὶ* add. H. 424—25. Pro *φησὶν κτλ.*, *ἐν τῷ περὶ τοῦ Ἁ. Πν. λόγῳ φησί* H. 428. *Θεολόγου* BH. *Θεολόγε* L. 429. *ἐκείνην* BL. *ἐκείνου* H. 430. *σου* om. B. 433. *γεννητὸν* (om. *οὐ*) B. 437. *σὺ* om. H. 439. *φυσιολογήσω* HL. *φιλοσοφώσω* (corr. *-ήσω*) B. 440. *παραπληκτίσομεν* H. *παραπληκτήσομεν* B. *παραπληκτήσωμεν* L. 441. *ὁράτουν* Codd. . . . *ὅπως καὶ* BH. *κ. ὁ.* L. 442. *οὑτωσὶ* BL. *οὕτως* H. 443. *δεξαίμεθα* BL. *δοξώμεθα* H.

Αὐτὴν γὰρ οἴδασιν οἱ θεολογοῦντες, ὡς ἐκ τῶν εὐαγγελίων δεξάμενοι. Καὶ ὁ ἅγιος Αὐγουστῖνος, ὁ μάλιστα τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀξιόπιστος ὤν, τάδε φησί· Τὸ Πνεῦμα τὸ Ἅγιον κυρίως ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· ἐκ τῆς οὐσίας γὰρ αὐτοῦ καὶ οὐ κτίσμα, ὥσπερ οὐδὲ ὁ Υἱός. Καὶ πάλιν ἕτερός τις τῶν Ῥωμαίων διδάσκαλος, *Ἐπίκτιτος ὁ φιλόσοφος, ἐρωτώμενος παρὰ Ἀδριανοῦ καὶ Αὐγουστίνου, ἀπεκρίνατο οὕτως· Πῶς νοητέον ἐκεῖνο ἐστὶν ὅπερ Ἰωάννης ὁ εὐαγγελιστὴς περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου φησίν, ὅτι οὐ λαλήσει ἀφ᾽ ἑαυτοῦ, ἀλλ᾽ ὅσα ἂν ἀκούσῃ λαλήσει; Καὶ ἀνταποκρινόμενος οὕτω φησίν· Οὐ λαλήσει ἀφ᾽ ἑαυτοῦ ὅτι οὐκ ἔστιν ἀφ᾽ ἑαυτοῦ· ἀλλ᾽ ὅσα ἂν ἀκούσῃ λαλεῖ· ἀκούει δὲ παρ᾽ οὗπερ καὶ ἐκπορεύεται· ἐκπορεύεται δὲ παρὰ τοῦ Πατρὸς καθὼς ἐν τοῖς εὐαγγελίοις μανθάνομεν. Καὶ ὁ ἅγιος Μάξιμος φησίν· Ἄναρχον τὸ Θεῖον, ἐπειδὴ καὶ ἀΐδιον· ἡ γὰρ τοῦ Υἱοῦ ἐκ Πατρὸς γέννησις καὶ ἡ τοῦ Πνεύματος ἐκπόρευσις σὺν τῷ ἀνάρχῳ Πατρὶ παρεκτείνεται.

Καὶ ταῦτα μὲν ἀπό τε γραφικῶν χρήσεων καὶ ῥήσεων πατρικῶν, ἐκ πολλῶν ὀλίγα. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος αὐτὴ μὲν οὐκ εἶπέ τι περὶ τοῦ Ἁγίου Πνεύματος, ὅτι μηδὲ ἦν ζήτησις περὶ τούτου. Ἡ δὲ δευτέρα ἧς τὸ ἄθροισμα ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, ὧν ἡγεῖτο Δάμασος πάπας Ῥώμης διὰ Τιμοθέου πατριάρχου Ἀλε-

451. S. Aug. *Dial. Quaest. Orosii et Augustini.* Q. XI "Quomodo intelligendum est &c." R. "Non loquitur a semetipso quia non est a semetipso . . . Audire illi esse est; esse autem a se non est, sed a Patre: ideo quaecunque audit loquitur." Cf. de Trinit. et Unit. 3. De Trin. II. 5. Contr. Serm. Arian. 20.

448. αὐτοῦ BL. αὐτῆς H. 449. *Καὶ πάλιν ἕτερός τις τῶν Ῥωμαίων διδάσκαλος Ἐπίκτιος* (L, *Πίκτιος*) ὁ φιλόσοφος BL. *Καὶ Πύκτιος ὁ φιλόσοφος Ῥωμαίων διδάσκαλος* H. Edidi Ἐπίκτιτος i.q. Ἐπίκτητος. Sed in errore nescio quo versatur Theodorus noster. 450. παρὰ HL. περὶ B. 451. *Πῶς νοητέον* B. Φῶς νοητέον L. Φῶς νοητὸν H. 452. περὶ Πνεύματος (om. τοῦ) B. 457. οὗπερ BL. οὗ H. 458. μανθάνομεν HL. μανθάνωμεν B. 459. *Καὶ* add. H. 461. ἀνάρχῳ B. συνανάρχῳ HL. 458. χρήσεων om. H. 466. ἧς τὸ ἄθροισμα κ.τ.λ. B (L, ρ̅ν̅) τῶν ρ̅ν̅ ἁγίων πατέρων ἦν H. 468. διὰ Τιμοθ. πατριάρχου BL. Τιμόθεος H.

ξανδρείας, Νεκτάριος Κωνσταντινουπόλεως, Μελέτιος Ἀντιοχείας, Κύριλλος Ἱεροσολύμων, Γρηγόριος ὁ Θεολόγος· οἵτινες συνηθροίσθησαν κατὰ Μακεδονίου, ὃν καὶ ἀνεθεμάτισαν· εἶτα προσέθεντο καὶ τὰ ὑπόλοιπα τοῦ ἁγίου συμβόλου, τουτέστι, Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον τὸ Κύριον τὸ ζωοποιὸν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ τὰ ἑξῆς. Ἡ δὲ τρίτη σύνοδος οὐ μόνον ἐπεκύρωσε τὴν δευτέραν ἀλλὰ καὶ ἐν ἑβδόμῳ κανόνι αὐτῆς τάδε φησίν· Ὥρισεν ἡ ἁγία σύνοδος ἑτέραν πίστιν μηδένι ἐξεῖναι προσφέρειν ἤγουν συγγράφειν ἢ συντιθέναι παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων σὺν Ἁγίῳ Πνεύματι. Τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν ἤγουν προκομίζειν ἢ προσφέρειν [τοῖς θέλουσιν ἐπιστρέφειν] εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἢ ἐξ Ἑλληνισμοῦ ἢ ἐξ Ἰουδαϊσμοῦ ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι. Παρῆν δὲ ἐν ταύτῃ τῇ τρίτῃ συνόδῳ ὁ μέγας Κύριλλος Ἀλεξανδρείας, ἀναπληρῶν καὶ τὸν τόπον Κελεστίνου πάπα Ῥώμης. Ἡ δὲ τετάρτη σύνοδος, ἐν ᾗ συνῆλθον ἑξακόσιοι τριάκοντα ἅγιοι πατέρες, ἧς ἡγεῖτο σὺν τοῖς ἑτέροις πατράσιν Λέων ὁ πάπας Ῥώμης αὐτοπροσώπως, ἐν κανόνι

477. Cf. Mansi Conc. 4 p. 1362.

469. *Νεκτάρειος* Z. 470. *Γρηγόριος ὁ Θ.* om. H: habet infr. *οἵτινες συνηθρ. μετὰ Γρηγορίου τοῦ Θεολόγου κατὰ Μακεδ.* 471. *Μακεδωνίου* L. 472. *εἶτα καὶ* om. BL. 473. *Καὶ εἰς τὸ Πν. κ.τ.λ.* H. *Καὶ εἰς τὸ Πν. τὸ Ἅγιον τὸ ἐκ τοῦ Πατρὸς ἐκπορ., καὶ ἕως τέλους καθὼς ἐστὶ γεγραμμένον* B (L add. *τὸ Κύριον*). 475—76. *οὐ μόνον, ἀλλὰ,* om. H. 478. *ἤγουν* HL. *ἢ* B. 480. *σὺν Ἁ. Πν.* BL. *ἐν Ἁ. Πν.* H. 483. Verba *τοῖς θέλουσιν ἐπιστρέφειν* ex ipso canone restitui. 485—86. *εἰ μὲν εἶεν ἐπίσκ.* B. *εἰ μὲν εἶναι ἐπ.* L. *εἰ μὲν ἐπ. εἶεν* H. 488. *εἶεν* om. H. 489—90. *παρῆν δὲ κτλ.* BL. *ἐν ταύτῃ τῇ τρ. συν. καὶ ὁ μέγ. Κύρ. Ἀλεξ. ἦν* H. 490. *καὶ* om. H. 491—92. *ἐν ᾗ συνῆλθον κ.τ.λ.* B (L. *χ̄*). *ἦν χ̄ ἁγίων πατέρων* H. 492—93. *σὺν τοῖς ἑτ. πατρ. κτλ.* B (L om. *τοῖς*). *Λέων ὁ πάπας Ῥ. αὐτοπροσ. σὺν τοῖς ἑτέροις.* 493. *ἐν κανόνι πρώτῳ αὐτ. τάδε λέγει* BL. *ἐν κανόνι δὲ πρώτῳ ταύτης οὕτω φησὶ* H.

πρώτῳ αὐτῆς τάδε λέγει· Τοὺς ὑπὸ τῶν ἁγίων πατέρων καθ' ἑκάστην σύνοδον ἄχρις τοῦ νῦν ἐκτεθέντας κανόνας κρατεῖν ἐδικαιώσαμεν. Ἡ πέμπτη σύνοδος, ἐν ᾗ συνῆλθον ἑκατὸν ἑξήκοντα καὶ πέντε ἅγιοι πατέρες, ἐπεκύρωσε τὰ δογματισθέντα ὑπὸ τῆς ἁγίας τετάρτης συνόδου καὶ ἐβεβαίωσε, καὶ εἰς τοὺς κατ' αὐτῆς βλασφημοῦντας ἀνεθεμάτισεν· ἡγεῖτο δὲ ταύτης σὺν τοῖς ἑτέροις πατράσιν Εὐτύχιος Κωνσταντινουπόλεως, ἀναπληρῶν καὶ τὸν τόπον Βιγιλίου πάπα Ῥώμης. Ἡ ἕκτη σύνοδος καὶ αὐτὴ ἐκύρωσε τὴν πέμπτην· προηγεῖτο δὲ ταύτης σὺν ἑτέροις Γεώργιος Κωνσταντινουπόλεως, διέπων καὶ τὸν τόπον Ἀγάθωνος πάπα Ῥώμης. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος ἐν πρώτῳ κανόνι αὐτῆς τάδε φησί· Τοῖς τὴν ἀρχιερατικὴν λαχοῦσι τάξιν μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεων εἰσὶν ὑποτυπώσεις. Ἃς δεχόμενοι πάσας ἀσμένως, μετὰ τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν δεσπότην Θεὸν λέγοντες, Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ. Καὶ, Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου· καὶ εἰς τὸν αἰῶνα συνέτισόν με καὶ ζῆσόν με. Καὶ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φήμη ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ καὶ ζῆν ἐν αὐτοῖς· δηλονότι, ἀσαλεύτοις καὶ ἀκραδάντοις διαμένουσιν. Ὅτι καὶ ὁ θεόπτης Μωϋσῆς οὕτω φησίν· Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Καὶ ὁ θεῖος ἀπόστολος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ, Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. Καὶ, Εἰ ἄγγελος ἐξ οὐρανοῦ εὐαγ-

494. Mansi 7 p. 357. 507. Mansi 13 p. 417.

496—97. ἡ πέμπτη σύνοδος ἐν ᾗ συνῆλθον ρξ̄ καὶ ε' ἅγιοι πατ. L (B ἑκατὸν ἑξηκ. καὶ πέντε ἁγίων πατέρων). ἐν τῇ πέμπτῃ συνόδῳ συνῆλθον ρξε ἅγιοι πάτερες καὶ ἐνεκύρωσαν H. 499. ἐβεβαίωσαν, ἀνεθεμάτισαν H. 501—4. Εὐτύχιος—σὺν ἑτέροις add. B. 505. ἡ δὲ ἁγία κ.τ.λ. B. Καὶ ἡ ἕκτη καὶ ἡ ἑβδόμη ὁμοίως H. 509. ὑποτύπωσιν L . . . πάσας add. H. ἀσμένως om. H. 510. ἄδωμεν B. 512. ἐτέρφθην HL. ἐτέρφθημεν B. 512—14. καὶ ἐνετείλω—ζῆσόν με om. H. 517. δηλονότι om. H. 519. προσθῆναι L. 521. ἐγκαυχόμενος. 522. ἐξ οὐρανοῦ om. L.

γελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Τούτων οὖν οὕτως ὄντων καὶ διαμαρτυρουμένων ἡμῖν, ἀγαλλιώμεθα ἐπ' αὐτοῖς ὡσεί τις εὕροι σκῦλα πολλά, καὶ ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα καὶ ὁλόκληρον τὴν αὐτῶν ἀγωγὴν καὶ ἀσάλευτον κρατύνομεν τῶν ἐκτεθέντων ὑπὸ τῶν σαλπίγγων τοῦ Πνεύματος, τῶν πανευφήμων ἀποστόλων, τῶν τε ἕπτα ἁγίων καὶ οἰκουμενικῶν συνόδων καὶ τῶν τοπικῶς συναθροισθέντων ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων πατέρων ἡμῶν· ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Ἁγίου Πνεύματος αὐγασθέντες ὥρισαν τὰ συμφέροντα.

Σκόπησον δέ μοι καὶ τοῦτο, ὦ ἱερώτατε ἄνθρωπε, ὅπως τοσούτων γεγενημένων συνόδων ἐν αἷς συνήρχοντο πάντες οἱ τῶν καθ' ἑκάστην ἐκκλησιῶν ἀρχιερατικῶς προϊστάμενοι, οὐδεμία σύνοδος ἐκ κελεύσεώς τινος τῶν τοιούτων ἀρχιερέων ἐγένετο, οὔτε τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης οὔτε τοῦ πατριάρχου Κωνσταντινουπόλεως οὔτε τοῦ πάπα Ἀλεξανδρείας· οὐ τοῦ πατριάρχου Ἀντιοχείας οὔτε μὴν τοῦ Ἱεροσολύμων οὐδ' ἄλλου τινός· ἀλλὰ πᾶσαι ἐκ κελεύσεων βασιλικῶν συνηθροίσθησαν. Ὁ γὰρ βασιλεὺς ἦν ὁ τὴν ἐξουσίαν ἔχων τῆς αὐτῶν συνελεύσεως· χωρὶς δὲ βασιλικῆς προσταγῆς οὐδὲν τοιοῦτον ἠνύετο· ἐκ βασιλέως γὰρ καὶ τὰ ἀναλώματα αὐτοῖς ἐπεγένοντο. Καὶ ἡ ἐν ἐπικαίρῳ τῶν τόπων συνδρομὴ καὶ συνέλευσις, καὶ τὸ κρεῖττον ὅ,τι, διαφερομένων τῶν ἱερωμένων ἐν δόγμασι, τίς ἂν εἶχε διακρῖναι τοὺς ἀληθῶς λέγοντας πλὴν τοῦ βασιλέως αὐτοῦ;

524. τούτων οὖν οὕτως ὄντων καὶ διαμ. B. τούτων οὐτοσοῦν ὄντων κ. διαμ. L. τούτων οὖν οὕτως διαμ. H. 525. ἀγαλλιώμενοι L. . . . εὕροι L. εὕρῃ B. εὑρίσκει H. 526. σκύλλα L. 528. ἀγωγὴν HL. διαταγὴν B. 528. κρατύνωμεν L. 530. τῶν ἕπτα (om. τε) H. 531. τοπικῶς HL. τοπικῶν B. 534. καὶ add. L. 538. οἱ τῶν κ.τ.λ. BL. οἱ τῆς καθ' ἑκάστην ἐκκλησίαν ἀρχῆς ἱερατικῶς προιστ. H. 538. ὅτι οὐδὲ μία H. 541. οὐ τοῦ πατρ. B. οὔτε HL. 543. τοῦ Ἱεροσ. B. τῶν Ἱερ. HL. 543—44. ἐκ κενώσεως βασιλικῶν H. 545. τῆς αὐτῶν BL. τ. αὐτῆς H. 547. ἐπεγίνοντο HL. ἀπεγένοντο B. 549. ἱερομένων L. . . . τίς ἂν εἶχε διακρῖναι τοὺς ἀ. λ. H. τίς ἂν εἶχε τοὺς ἀ. λ. διακρῖναι B. τίς ἂν εἶχε διακριτοὺς τοὺς ἀ. λ. L. 550. τοῦ om. H.

Αὐτὸς γὰρ ἐν μέσῳ αὐτῶν ἐκαθέζετο μετὰ τῶν ἐγκρίτων τῆς συγκλήτου καὶ τῶν λογάδων τῆς τάξεως οἳ τὴν ψῆφον ἐπέφερον ὡς Ἀληθῶς μὲν οὗτοι φασὶν ἐναντίως δὲ ἐκεῖνοι διάκεινται πρὸς τὴν ἀλήθειαν. Ἦν γὰρ οὖν καὶ τὸν βασιλέα ποτὲ παιδείας μετέχοντα ἀφ᾽ ἑαυτοῦ ἐπιγινώσκειν τὸν ἀληθεύοντα· ἦν δὲ ὅτε τοῦ βασιλέως μὴ τοιούτου τυγχάνοντος, τὸ ἐνδέον πληροῦσθαι ὑπὸ τῶν τῆς συγκλήτου ἐλλογίμων ἀνδρῶν. Ἄνευ γὰρ τοιούτου κριτοῦ καὶ διαγνώμονος ὃς τὸ κῦρος τῆς ἀρχῆς ἔφερε καὶ τῆς ἐξουσίας τὸ κράτος ἐζώννυτο, πῶς ἂν ἦν τοὺς μὲν προσδεχθῆναι ὡς φρονοῦντας τὰ ἀληθῆ, τοὺς δὲ ἀποπεμφθῆναι κατακριθέντας ὡς αἱρετίζοντας καὶ μὴ τἀληθῆ δογματίζοντας; οὐ γὰρ μᾶλλον τούτων ἢ ἐκείνων ὑπῆρχεν ὁ βασιλεὺς, πάντων δὲ ἐπίσης ἔστι βασιλεὺς καὶ παρὰ πάντων ἐπίσης καὶ ὀνομάζεται καὶ σέβεται καὶ κατ᾽ ἴσην οὗτος διάθεσιν ἐν πᾶσι διάκειται. Μὴ θροείτω δέ τις τὸ ὁμόγλωττον ἢ ἀλλόγλωττον· οὐ γὰρ ὁμογλώττοις πλεῖον χαρίζεται βασιλεὺς, ἀλλὰ πᾶσιν ἴσος ἐστὶ καὶ ὁμοίως ἐν πᾶσι τοῖς ὑπὸ χεῖρα διάκειται, καὶ ἀληθείας ἐστὶ κριτὴς καὶ διαγνώμων τοῦ ἀκριβοῦς. Ἐπεί ποτε τῆς ἕλληνος γλώττης ὄντας αἱρετίζοντας ὁμόγλωττος ὢν αὐτοῖς ὁ βασιλεὺς ὡς αἱρετικοὺς κατέκρινέ τε καὶ ἀπεπέμψατο· καὶ τοὺς ἑτερογλώττους ὄντας ὡς ἀληθεῖς παρεδέξατο, καὶ ἄλλως πάλιν ἐπ᾽ ἄλλοις. Ὥστε καὶ πάλιν εἴ ἐστιν ἀναγκαῖον σύνοδον συγκροτηθῆναι εἰς τὴν τῆς ἀληθείας ἐξέτασιν, οὕτω δεῖ γενέσθαι, καὶ προστάγμασι βασιλικοῖς συνελθεῖν ἅπαντας ἐν ᾧ ἂν ἐπιτάξῃ τόπῳ ὡς ἂν καὶ ἀναλωμάτων ἐν αὐτῷ συναγωγὴ γένηται καὶ τῶν χρειωδῶν ἐπισώρευσις· καὶ ὁ βασιλεὺς καθίσει μέσος, ὡς ἂν διακρίνῃ τοὺς λέγοντας κατὰ τὴν παλαιὰν ἐκείνην συνή-

551. αὐτὸς γὰρ ἐν μέσῳ B. ὁ αὐτὸς γὰρ μέσον HL. 554. ἦν γὰρ οὖν B. τοιγαροῦν HL. 562. τἀληθῆ L. 563—66. πάντων δὲ ἐπίσης —διάκειται B (L σεvάζεται pro σέβεται [cf. l. 6 supra]) ἀλλὰ παρὰ πάντων ἐπίσης ἐστὶ καὶ ὀνομάζεται. 566. τις L. τινας BH. 567. πλέον B . . . βασιλεὺς B. βασιλεία HL. 569. διαγνώμων τοῦ ἀκριβοῦς B (διὰ νόμον H: ἀκριβῶς L). 570. ἑλληνγλώττς B (*sic*). 571. ὁμόγλωττος ἦν L . . . Post ὁ βασ. add. καὶ L. 574. συγκρ. HL. κροτηθῆναι B. 576. ἐπιτάξει B. 577. συναγωγὸς L . . . γένηται H. γένοιτο BL. 578. χρεωδῶν B . . . καθίσει BL. καθήσει H. 579. διακρίνει B.

θειαν. Εἰ γοῦν οὕτω γένοιτο ταῦτα, εὐχερέστατα ἂν διαγνωσθείη τὸ ἀληθὲς τῇ δυνάμει τοῦ κρείττονος, καὶ τὸ ψεῦδος ἀποκρουσθείη τῇ τοῦ Πνεύματος χάριτι· ἄλλως δὲ οὐκ ἂν γένοιτο τῆς ὑποθέσεως ἡ διόρθωσις.

Καὶ ἡ βασιλεία μου, ὦ ἱερώτατε ἐπίσκοπε Κοτρώνης, οἷα στρατιῶτις καὶ τῷ Ἄρει ἐκ βρέφους συνεθισθεῖσα, καὶ περὶ τὰ κοσμικὰ καὶ πολιτικὰ πράγματα ἐξ ἥβης αὐτῆς καταγινομένη, ὅσα ἐκ διηγήσεως εἰπεῖν καὶ ὑπὸ ἀναγνώσεως μερικῶν τινῶν βίβλων ἐπὶ μνήμης φέρειν, τῇ σῇ ἀποδείκνυσιν ἱερότητι διὰ τῆς χάριτος τοῦ Χριστοῦ. Ὅταν δὲ ἀναδραμῇς εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον καὶ εἰς τοὺς πνευματικοὺς καὶ ἱεροὺς ἄνδρας, οἷς μέμηλε περὶ τὰ τοιαῦτα, καὶ οἷς βίος ἐστὶν ὁ λόγος, οἱ τοιοῦτοι ἵνα σοὶ ἀποδείξωσι διὰ τῆς χάριτος τοῦ Χριστοῦ τὰ πλειονά τε καὶ περισσότερα καὶ ἐκ τούτων, ἵνα κατάκρως ἐμφορηθῇς τῶν περὶ τοῦ Ἁγίου Πνεύματος.

Τὸ δὲ Παράκλητον καὶ Ἅγιον Πνεῦμα τὸ παρὰ τοῦ Πατρὸς ἐκπορευόμενον καὶ δι' Υἱοῦ τοῖς πᾶσι χορηγούμενον, περὶ οὗ νῦν καὶ ὁ λόγος· τὸ καὶ τοὺς ἀποστόλους πάλαι σοφίσαν καὶ εἰς μίαν ἕνωσιν καὶ ὁμόνοιαν καὶ μίαν πίστιν καὶ δόξαν τὰ ἔθνη ἐνδυναμῶσαν τούτους συναγαγεῖν, καὶ προσκυνητὰς Πατρὸς Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἀναδεῖξαι· αὐτὸ καὶ ἡμᾶς καὶ ὑμᾶς ἑνώσειεν εὐδοκίᾳ Πατρὸς καὶ χάριτι Χριστοῦ διὰ τῆς ἑαυτοῦ συνεργίας, καὶ εἰρήνην καὶ ὁμόνοιαν μέσον ἡμῶν ἐμφυτεύσοι, διὰ τῆς αὐτοῦ παντοδυνάμου καὶ τελειοποιοῦ ἰσχύος. Ἀμήν.

580. γένοιτο B. γενηται HL . . . διαγνωσθῇ H. 585. στρατιώτης Codd. 586. τὰ πολιτικὰ H. 587. ὅσα BL. οὖσα H . . . εἰπεῖν δὲ B. 589. ἱερότητι B. ἱερωτητι HL. 590. τὰς θείας καὶ ἱερὰς συνόδους H. 594. τούτων BH. τούτον L . . . κατ' ἄκρως L . . . περὶ τοῦ Ἁγ. Πν. BL. περὶ τοῦ ἁγίου καὶ κυρίου καὶ ζωοποιοῦ Πν. H. 599. σοφίσαν εἰς (om. καὶ) B. 601—2. ἀναδεῖξαι H. ἀναδεῖξαν BL. 603. συνεργίας H. συνεργείας BL. 604. ἐμφυτεύσοι H. ἐμφυτεύσει BL.

INDICES.

1. VERBA.

2. TESTIMONIA.

a. S. SCRIPTURÆ.

b. SS. PATRUM.

c. CONCILIORUM.